# ΧΑΙΡΕΤΙΣΜΟΙ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΕΝΔΟΞΟΥΣ ΟΣΙΟΜΑΡΤΥΡΕΣ ΡΑΦΑΗΛ, ΝΙΚΟΛΑΟ ΚΑΙ ΕΙΡΗΝΗ ΤΗΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ

**Ποίημα Ὁσίου Γερασίμου Μικραγιαννανίτου**
**Μ. Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας**

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.
Τόν Ραφαήλ τόν θαυμαστόν Ἱερομάρτυρα, σύν Νικολάῳ, καί Εἰρήνη ἀνυμνήσωμεν, τούς πλουσίως δοξασθέντας παρά Κυρίου· Ἐν Θερμή γάρ, ὡς ἀστέρες ἡμῖν ὤφθησαν, καί πυρσεύουσιν, ἀπαύστως θείοις θαύμασι, τούς κραυγάζοντας· Ἀθληταί Χριστοῦ χαίρετε.

Ἄθλησιν μακαρίαν, ἀνενδότῳ καρδία, ἠθλήσατε τριάς τῶν μαρτύρων (ἐκ γ)· Ῥαφαήλ σύν τῷ Νικολάῳ καί Εἰρήνη τυράννους καταισχύνοντες· διό ἡμᾶς γεραίροντες, ὁμοφώνως ὑμῖν βοῶμεν·
Χαῖρε, τριάς στερρῶν Ἀθλοφόρων·
χαῖρε, πλειάς Χριστοῦ θεραπόντων.
Χαῖρε, θεοφόρε Ραφαήλ θεόληπτε·
χαῖρε, νικηφόρε θεόφρον Νικόλαε.
Χαῖρε, Μάρτυς εἰρηνώνυμε παρθενίας ἡ λαμπάς·
χαῖρε, τρίστιχε συνέλευσις καί ἀθλητικῇ τριάς.
Χαῖρε, ὅμιλε θείας τρισαυγών Ἀθλοφόρων·
χαῖρε, κλέος καί δόξα εὐσεβῶν Ὀρθοδόξων.
Χαῖρε, σύστημα θεῖον τριστέλεχον·
χαῖρε, εὐσεβῶν καύχημα ἔνθεον.
Χαῖρε, χορός τρισαρίθμων Μαρτύρων·
χαῖρε, ὁμότιμε πάντων Ἁγίων.
Χαίρετε Ἅγιοι Μάρτυρες

Βίον ἔχοντες θεῖον, τήν ὁρμήν τῶν ἀπίστων, ὑπέστητε προθύμῳ καρδία, καί κεκρυμμένοι χρόνοις πολλοῖς, ἄρτι παραδόξως ἐφανερώθητε. ὦ Ἀθληταί τρισάριθμοι ἐκπλήττοντες τούς ἐκβοῶντας·
Ἀλληλούια.

Γνώμη ἀνδρειοτάτη Ραφαήλ καθυπέστης, ἐχθρῶν τήν μανιώδη κακίαν· καί ποικιλοτρόπως αἰκισθείς, μαρτυρικῆς εὐκλείας κατηξίωσαι, διό τήν καρτερίαν σου, θαυμάζοντες ἀναβοῶμεν·

Χαῖρε, ἡ στήλη τῆς καρτερίας·
χαῖρε, ἡ πτῶσις τῆς δυσσεβείας.
Χαῖρε, τῆς Ἰθάκης βλαστός ἱερώτατος·
χαῖρε, τῶν Μαρτύρων ἐν πάσῃ ὁμότροπος.
Χαῖρε, μύστης ἐνθεώτατος τῆς ἀγάπης Τοῦ Χριστοῦ·
χαῖρε, στῦλος ἀρραγέστατος τοῦ θεόφρονος λαοῦ.
Χαῖρε, ὅτι Κυρίῳ ὁλικῶς ἀνετέθης·
χαῖρε, ὅτι τοῦ κόσμου τῶν τερπνῶν ἀπανέστης.
Χαῖρε, Χριστοῦ θεράπων θερμότατος·
χαῖρε, πιστῶν ἀτίνακτος πρόβολος.
Χαῖρε, ζωῆς ἐναρέτου πυξίον·
χαῖρε, Φωτός οὐρανίου δοχεῖον.
Χαῖρε Ραφαήλ ἀξιάγαστε

Δύναμιν οὐρανίαν, ἔσχηκας ἐν τῷ λόγῳ ὡς πλήρης θεϊκῆς ἐπιπνοίας, τοῦ Εὐαγγελίου Χριστοῦ, περιφανῆς διδάσκαλος ἐχρημάτισας, Ραφαήλ παναοίδιμε, πάντας διεγείρων κραυγάζειν·
Ἀλληλούια.

Ἔλλαμψιν εὐσεβείας, ἔσχηκας ἐν καρδιᾷ, Νικόλαε, Ῥαφαήλ τοῖς λόγοις, καί διακονῆσαι ὡς εἰκός τῇ Ἐκκλησία, Χριστοῦ προκεχείρισαι, διό σε μακαρίζοντες ἀναβοῶμεν σοι·
Χαῖρε, τρωθείς Χριστοῦ τῇ ἀγάπῃ·
χαῖρε, δειχθῇς θεόφρων ἐν πάσῃ.
Χαῖρε, τερῶν Διακόνων σελάγισμα·
χαῖρε, θαυμαστῶν Ἀθλοφόρων ὡράισμα.
Χαῖρε, τύπος καί γεώργιον Ραφαήλ τοῦ στεροῦ·
χαῖρε, ὅσιος Διάκονος Ἐκκλησίας Τοῦ Χριστοῦ.
Χαῖρε, Θεσσαλονίκης ἐνθεώτατον αὖχος·
χαῖρε, ἀθανασίας εὐωδέστατον ἄνθος.
Χαῖρε, φθαρτῶν ἁπάντων ὑπέρτερος·
χαῖρε, χοροῦ Μαρτύρων συμμέτοχος.
Χαῖρε, Χριστοῦ ἱερώτατον θύμα·
χαῖρε, ἐχθροῦ καιριώτατον πῆμα.
Χαῖρε Μάρτυς Νικόλαε

Ζῶν ἐνάρετον βίον. ὡς διάκονος θεῖος, ὑπέστης τήν ὁρμήν τῶν βαρβάρων, καί ἤθλησας ἐν Θερμή καλῶς, ἀθλητικῶς Νικόλαε

δεδόξασαι. τῷ σε ἐνδυναμώσαντι, σύν Ἀθληταῖς Μάρτυς κραυγάζων·
Ἀλληλούια.

Ἤθλησας στερροψύχως, ὡς νεᾶνις θεόφρον, Εἰρήνη μακαρία Παρθένε· καί τυρρανικήν Μάρτυς ὀφρύν φαυλίσασα Κυρίῳ προσενήνεξαι, θυσία ὡς εὐσπρόδεκτος ἀκούουσα παρ' ἡμῶν ταύτᾳ·
Χαῖρε, ἀλάβαστρον τῆς ἁγνείας·
χαῖρε, κατάπτωσις τῆς κακίας.
Χαῖρε, αἰωνίου εἰρήνης ἐπώνυμος·
χαῖρε, Ἀθληφόρων ἁγίων ὁμόσκηνος.
Χαῖρε, κρίνον τό μυρίπνοον τῆς Ἀγάπης Τοῦ Χριστοῦ·
χαῖρε, ξίφος τό ἀμφίστομον κατ' ὀφρύος τοῦ ἐχθροῦ.
Χαῖρε, τῶν νεανίδων ἐγκαλλώπισμα θεῖον·
χαῖρε, τῆς παρθενίας εὐωδέστατον ἴον.
Χαῖρε, Χριστοῦ ἀμνάς καλλιπάρθενε·
χαῖρε, Φωτός αὔλου ἀνάπλεως.
Χαῖρε, Χριστοῦ πανακήρατος νύμφη·
χαῖρε, πιστῶν θεοβράβευτος νίκη.
Χαίροις Εἰρήνη πάνσεμνε.
Θυμόν ἤνεγκας Μάρτυς, ἐπελθόντων βαρβάρων, ἐν ἁπαλῷ σώματι Εἰρήνη· καί ἐν ὄψει τοῦ σου πατρός, τό φρικτόν καθυποστάσα μαρτύριον, μαρτυρικῆς ἠξίωσαι, εὐκληρίας ἀναβοῶσα·
Ἀλληλούια.

Ἰταμότητι πλείστη Ραφαήλ τῶν τυράννων ἀντετάξω τήν σήν καρτερίαν, καί δία πρίονος τόν σκληρόν θάνατον Ὁ ὑπέμεινας παναοίδιμε, ἐκπλήττων τούς ὁρῶντας σε καί στηρίζων τούς ἐκβοῶντας·
Χαῖρε, τό κλέος τῶν Ἱερέων·
χαῖρε, τό γέρας τῶν Μοναζόντων.
Χαῖρε, θαυμαστῆς καρτερίας ὑπόδειγμα·
χαῖρε, ψυχικῆς παρρησίας διάγραμμα.
Χαῖρε, λύχνος φαεινότατος Μοναστῶν τῶν τῆς Θερμῆς·
χαῖρε, στήριγμα θεόσδοτον εὐσεβῶν ἐν τοῖς δεινοῖς.
Χαῖρε, ὅτι ὑπέστης ἀνυποίστους βασάνους·
χαῖρε, ὅτι ἐκτρέπεις τούς ἀθέους τυράννους.
Χαῖρε, ἠθῶν ἀμέμπτων διδάσκαλε·

χαῖρε, πολλῶν χαρίτων ἀνάμεστε.
Χαῖρε, πηγή σωτηρίων θαυμάτων·
χαῖρε, ῥοή ψυχοτρόπων ναμάτων.
Χαίροις Ραφαήλ ἀξιάγαστε.

Κεκρυμμένος τυγχάνων ἐν Θερμή πολλοῖς χρόνοις ὑπό γῆν Ραφαήλ θεοφόρε, θαυμαστώς ἐγνώσθης τοῖς πιστοῖς ἐν ὄψεσι καί σημείων δυνάμεσι, καί καταπλήττεις ἅπαντες τοῖς σοῖς θαύμασι τούς βοῶντας·
Ἀλληλούια.

Λάμπων θεοσεβείαις, Νικόλαε ὡράθης ἐκφαίνων ἥνπερ ἔσχηκας δόξαν· ἔνθεν τόν τάφον Μάρτυς τόν σόν οἱ εὐσεβεῖς εὑρόντες Θεόν ᾕνεσαν, καί χάριν ἀρυόμενοι, βοῶσαι σοι ἐν εὐφροσύνη·
Χαῖρε, διάκονε Τοῦ Κυρίου·
χαῖρε, ἀντίπαλε τοῦ δολίου.
Χαῖρε, ὁ νικήσας τυράννων τήν ἔνστασιν·
χαῖρε, ὁ πλουτήσας Ἀγγέλων τήν ἔλλαμψιν.
Χαῖρε, Μάρτυς ἀκαθαίρετος τοῦ παντάνακτος Χριστοῦ·
χαῖρε, πτῶσις καί ἐκνεύρισις τοῦ ἀλάστορος ἐχθροῦ.
Χαῖρε, ὅτι Μαρτύρων διανύεις τόν δρόμον·
χαῖρε, ὅτι Κυρίου μεγαλύνεις τόν λόγον.
Χαῖρε, πιστῶν θεόσδοτον καύχημα·
χαῖρε, ἡμῶν τό θεῖον διάδημα.
Χαῖρε, χοροῖς συναφθείς τῶν Μαρτύρων·
χαῖρε, χαράς μετασχών τῶν ἁγίων.
Χαίροις Μάρτυς Νικόλαε.

Μαρτυρίου τόν δρόμον, διανύσας θεόφρον, ἐτέλεις ὑπό γῆν πολλοῖς χρόνοις, Νικόλαε μάκαρ ἐν Θερμή καί ἀρτίως θαυμαστῶς πεφανέρωσαι διό σου προσερχόμενοι τοῖς λειψάνοις πιστῶς βοῶμεν·
Ἀλληλούια.

Νεκρωθεῖσα Εἰρήνη ἐν βιαίῳ θανάτῳ, μετέστης πρός ἀθάνατον δόξαν· καί ἐν τῷ Νυμφῶνι τῆς Ζωῆς τήν τοῦ Σωτῆρος ὁρῶσα λαμπρότητα ὑπέρ ἡμῶν ἱκέτευε, τῶν ἐκβοώντων σοι, θεόφρον·

Χαῖρε, νεᾶνις Χριστοῦ ἁγία·
χαῖρε, παρθένος ἡ μακαρία.
Χαῖρε, τοῦ πυρός ἐνεγκοῦσα τήν ἔκκαυσιν·
χαῖρε, τῶν ἐχθρῶν καθελοῦσα τήν ἔνστασιν.
Χαῖρε, νύμφη πανακήρατε τοῦ Παντάνακτος Χριστοῦ·
χαῖρε, μύρον τό νοούμενον βίου τοῦ παρθενικοῦ.
Χαῖρε, ὅτι Μαρτύρων τούς ἀγῶνας ὑπῆλθες·
χαῖρε, ὅτι πρός δόξαν τῶν Ἀγγέλων ἀνῆλθες.
Χαῖρε, ὀσμή ἁγνείας πανεύοσμος·
χαῖρε, κλεινῶν Μαρτύρων συνέστιος.
Χαῖρε, τρυφῆς ἡ μετέχουσα θείας·
χαῖρε, Ζωῆς κοινωνοῦσα ἁγίας.
Χαίροις Εἰρήνη πάνσεμνε.

Ξενωθεῖσα τῶν κάτω μακαρία Παρθένε, Εἰρήνη τοῖς χοροῖς τῶν Ἀγγέλων, συνήφθης τελέσασα στερρῶς τόν ἀγῶνα τόν καλόν καλλιπάρθενε, σύν Ραφαήλ καί Νικολάῳ, προσᾴδουσα τῷ Κυρίῳ·
Ἀλληλούια.

Ὀλός δεδοξασμένος, Ραφαήλ, καθοράσαι, καθ' ὕπαρ ἐν Θερμή παραδόξως, σύν Νικολάῳ καί Εἰρήνη· καί πανταχοῦ ἐνεργείς ἐν τοῖς θαύμασι ἰώμενος τούς πάσχοντας, καί βοηθῶν τοῖς ἐκβοῶσι·
Χαῖρε, ὁ μέγας ἐν θαυμασίοις·
χαῖρε, ὁ ἔνδοξος ἐν ἁγίοις.
Χαῖρε, ὁ τό πάλαι ἀθλήσας στερρότατα·
χαῖρε, ὁ ἀρτίως φανείς ἐνθεώτατα.
Χαῖρε, ἐνεργῶν τοῖς θαύμασιν πανταχοῦ ὑπερφυώς·
χαῖρε, χορηγῶν τοῖς ἅπασι τάς αἰτήσεις θαυμαστώς.
Χαῖρε, ὅτι κατ' ὄναρ καί καθ' ὕπαρ ὀράσαι·
χαῖρε, ὅτι ἐνθέως ὑπ' ἀξίων θέασαι.
Χαῖρε, πολλῶν τά πάθη ἰώμενος·
χαῖρε ἡμῶν προστάτις καί πρόμαχος.
Χαῖρε, Μονῆς Καρυῶν δᾳδουχία·
χαῖρε, Θερμῆς θεϊκή εὐκοσμία.
Χαίροις Ραφαήλ ἀξιάγαστε.

Πλείστοις Πάτερ ὡράθης ἐκπληρῶν τάς αἰτήσεις, καί νέμων θεϊκήν εὐφροσύνην· διό ἐν Θερμή τῇ σή σορῷ, πανταχόθεν οἱ εὐσεβεῖς συρρέουσι Ῥαφαήλ ἀνυμνοῦντες σε, καί ἐκβοῶντες τῷ Σωτῆρι·
Ἀλληλούια.

Ῥώμην τήν θείαν ἔχων Νικόλαε ὑπῆλθες νομίμως, Μαρτυρίου τό σκάμμα καί παρά Κυρίου δοξασθείς ἐν Θερμή τό σόν σκῆνος ἀπεκάλυψας, τοῖς πόθῳ σοι γεραίρουσι καί ἐκβοῶσι σοι προθύμως·
Χαῖρε, ὁ θεῖος ἐν διακόνοις·
χαῖρε, ὁ Μάρτυς ἐν Ἀθλοφόροις.
Χαῖρε, τῶν ἀρχαίων Μαρτύρων ἰσότιμος·
χαῖρε, τῶν Ἁγίων ἁπάντων ὁμότιμος.
Χαῖρε, ἔνδοξε Νικόλαε νίκη πάντων τῶν πιστῶν·
χαῖρε, βάσις καί ἑδραίωμα εὐσεβῶν χριστιανῶν.
Χαῖρε, ὅτι ἐδέξω ἀφθαρσίας τό στέφος·
χαῖρε, ὅτι παρέχεις τοῖς τιμῶσι σε σθένος.
Χαῖρε, Χριστοῦ πιών τό ποτήριον·
χαῖρε, ἡμῶν τό θεῖον προσφύγιον.
Χαῖρε, ἐχθροῦ ἀπαμβλύνας τά κέντρα·
χαῖρε, πιστῶν καταυγάζων τήν φρένα.
Χαίροις Μάρτυς Νικόλαε.

Σύσκηνος τῶν Ἀγγέλων, καί Μαρτύρων τυγχάνων μετά Ραφαήλ καί τῆς Εἰρήνης, Νικόλαε Μάρτυς τοῦ Χριστοῦ, σύν αὑτοῖς ὑπέρ ἡμῶν ἀεί πρέσβευε, ὡς ἀν δεινῶν ῥυσθείημεν οἱ ὁμοφρόνως ἐκβοῶντες·
Ἀλληλούια.

Τό ἀκήρατον κάλλος τοῦ Νυμφίου ὁρῶσα, εἰς τάς ἐπουρανίους σκηνώσεις, σύν τοῖς τοκεῦσι σου σεπτοῖς, Εἰρήνη Παρθενομάρτυς ἀήττητε, σύν αὑτοῖς Χριστῷ πρέσβευε, Ὂπέρ ἡμῶν τῶν ἐκβοώντων·
Χαῖρε, τό κρίνον τῆς εὐσεβείας·
χαῖρε, τό σκεῦος τῆς παρθενίας.
Χαῖρε, εὐωδίας τῆς θείας θησαύρισμα·
χαῖρε, καλλινίκων παρθένων ἀπάνθισμα.
Χαῖρε, μύρον πολυσύνθετον πολιτείας τῆς σεπτῆς·
χαῖρε, ἄρωμα οὐράνιον χάριτος ἀθλητικῆς.
Χαῖρε, ὅτι τήν ἄνω θείαν δέδεξαι ῥώμην·

χαῖρε, ὅτι τόν μέγαν κατεπάλαισας ὄφιν.
Χαῖρε, Χριστοῦ εὐῶδες ὀσφράδιον·
χαῖρε, σεπτόν καί ἅγιον σφάγιον.
Χαῖρε, σεμνῇ ἀηδών Ἀληθείας·
χαῖρε λαμπρᾷ λαμπηδών ἀφθαρσίας.
Χαίροις Εἰρήνη πάνσεμνε.

Ὕμνοις ἐπινικίοις, Ἀθληφόρε Εἰρήνη ὑμνοῦμεν σου τήν ἄθλησιν Μάρτυς· ὅτι ἐν σώματι ἀπαλῶ τόν ἀρχαῖον καταβέβληκας δράκοντα, καί νίκης διαδήματι κοσμηθεῖσα Κυρίῳ ψάλλεις·
Ἀλληλούια.

Φωτοφόρος ὡς λύχνοι, ἀναφθέντες ἐν Λέσβῳ ἐφάνητε ἀρτίως τῷ κόσμῳ, καί θαυμάτων ταῖς μαρμαρυγαῖς, καταπυρσεύετε πιστῶν τά πληρώματα, Ἀθλοφόροι τρισάριθμοι, διό πιστῶς ὑμῖν βοῶμεν·
Χαῖρε, Μαρτύρων τριττή χορεία·
χαῖρε, τῆς Λέσβου φωταγωγία.
Χαῖρε, Ἀθλοφόρων χορός ὁ τριστέλεχος·
χαῖρε, ἀσεβείας ἁπάσης ὁ ἔλεγχος.
Χαῖρε, σύστημα τρισάριθμον τοῦ Σωτῆρος κοινωνοί·
χαῖρε, ὅμιλος θεόπλοκος εὐσεβούντων ὁδηγοί.
Χαῖρε, ἐκ τρισηλίου φωτισμοῦ δᾳδουχία·
χαῖρε, θείων Μαρτύρων θεοφόρε χορεία.
Χαῖρε, τριάς Τριάδος ὑπέρμαχοι·
χαῖρε, πιστῶν φωστῆρες ὑπέρτιμοι.
Χαῖρε, Ραφαήλ σύν τῷ Νικολάῳ·
χαῖρε, Εἰρήνη γυναίων κάλλος.
Χαίρετε Μάρτυρες ἔνδοξοι.

Χαίροντες ἐν ὑψίστοις, Ραφαήλ καί Εἰρήνη ὁμοῦ σύν Νικολάῳ τῷ θείω, καί πᾶσι τοῖς ἐν ταῖς Καρυαῖς, ἀθλητικῶς τέλει ἐχθρόν αἰσχύναντες δία παντός πρεσβεύετε ὂπέρ ἡμῶν τῶν ἐκβοώντων·
Ἀλληλούια.

Ψάλλοντες σύν Ἀγγέλοις, τόν τρισάγιον ὕμνον, Τριάδι τῆ Ἀγία ἀπαύστως ἱκετεύσατε ὑπέρ ἡμῶν, ὡς ἀν κινδύνων Μάρτυρες καί θλίψεων, ῥυώμεθα ἑκάστοτε οἱ ὁμοφώνως ἐκβοῶντες·

Χαῖρε, χορεία δεδοξασμένη·
χαῖρε, Ἀγγέλοις ἡ συνημμένη.
Χαῖρε, Ραφαήλ Ἀθλητά ἱερώτατε·
χαῖρε, νικηφόρε θεόφρον Νικόλαε.
Χαῖρε, Μάρτυς εἰρηνώνυμε, ὦ Εἰρήνη θαυμαστῇ·
χαῖρε, σύλλογε τρισάριθμοι Μυτιλήνης ἀρωγοί.
Χαῖρε, ἡ συναυλία τῶν τριττῶν Ἀθλοφόρων·
χαῖρε, ἡ τριπλασία Ἀθλητῶν νικηφόρων.
Χαῖρε, Χριστοῦ τριόροφον οἴκημα·
χαῖρε, τρισσῶν Μαρτύρων τό σύστημα.
Χαῖρε, ἡμῶν, ὦ τριάς θυμηδία·
χαῖρε, τριῶν Ἀθλητῶν συστοιχία.
Χαίρετε Μάρτυρες ἔνδοξοι.

Ὦ τριάς μακαρία τῶν κλεινῶν Ἀθληφόρων Ραφαήλ Νικόλαε καί Εἰρήνη, τῇ Ἁγία Τριάδι ἀεί, ὑπέρ ἡμῶν ἱκεσίας προσφέρετε, ὡς ἀν τῆς ἄνω λήξεως, ἐπιτύχωμεν οἱ βοῶντες·
Ἀλληλούια.

Καὶ αὐθύς τὸ Κοντάκιον. Ἦχος πλ. δ´. Τῇ ὑπερμάχῳ.
Τόν Ραφαήλ τόν θαυμαστόν Ἱερομάρτυρα, σύν Νικολάῳ καί Εἰρήνη ἀνυμνήσωμεν, τούς πλουσίως δοξασθέντας παρά Κυρίῳ, ἐν Θερμή γάρ, ὡς ἀστέρες ἡμῖν ὤφθησαν, καί πυρσεύουσιν ἀπαύστως θείοις θαύμασιν τούς κραυγάζοντας· Ἀθληταί Χριστοῦ χαίρετε.